UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Apollonio Diacono. 244.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

κατὰ τῶν πέλας μετριοφρονοῦσα. τῷ δὲ μὴ ὑποκύπτειν τοῖς φόβοις καὶ τοῖς κινδύνοις, ἀλλὰ καὶ κολακείας καὶ δουλοπρεπείας ἀνωτέρα εἶναι, τὴν μεγαλοψυχίαν ἐπιδεικνυμένη. οὐ γὰρ τὸν δουλοπρεπῆ καὶ κόλακα, μετριόφρονα ὁρίζεται, οὐδὲ τὸν αὐθάδη καὶ ἀλαζόνα, μεγαλόφρονα. ἀλλ' ἑκατέρων τὰ ἀγαθὰ θηρῶσα, τὰ δυσχερῆ ἐκκλίνει, ἵνα τὰς ἀγχιθύρους τῆς ἀρετῆς κακίας φυγοῦσα, αὐτὴν καθαρῶς ἀναδύσηται τὴν ἀρετήν.

Τῷ αὐτῷ. σμγ.

Ἐπὶ τὸν κατὰ τῶν παθῶν τῆς σαρκὸς ἱερὸν χρὴ χωρῆσαι πόλεμον, οὐχ ἑαυτοῖς θαῤῥοῦντας, ἀλλὰ τῇ θείᾳ συμμαχίᾳ ἐπιτρέποντας τὸ νικᾶν. εἰ γὰρ καὶ οὕτως ὁρμήσομεν, πᾶσαν μὲν παρασκευὴν καὶ παράταξιν, καὶ πόνους καὶ ἀγρυπνίας κινοῦντες, τῇ δ' ἄνωθεν ῥοπῇ θαῤῥοῦντες ῥᾳδίως περιεσόμεθα, καὶ λαμπρὰ κατ' αὐτῶν στήσομεν τὰ τρόπαια, ταῖς κατὰ μέρος νίκαις, τὰς ἀγαθὰς ἐλπίδας συναύξοντας.

Ἀπολλωνίῳ διακόνῳ. σμδ.

Δύο γενικῶν κακιῶν οὐσῶν, τῆς τε νοουμένης, τῆς τε δρωμένης. ἡ μὲν διὰ τῶν ἔργων, πάλαι διὰ τοῦ νόμου ἐκολάσθη. ἡ δὲ νοουμένη, διὰ τοῦ εὐαγγελίου ἀνεστάλη, οὐ τὸ ἔργον μετὰ τὴν πρᾶξιν τιμωρουμένου, ἀλλ' ὅπως ἂν μηδ' ἀρχὴν λάβοι τὸ κακὸν προμυθουμένου. τότε μὲν γὰρ τῇ χειρὶ, νῦν δὲ τῇ ψυχῇ ἐνομοθετήθη.

Ἀμμωνίῳ. σμε.

Ὥσπερ οἱ μανίᾳ ἀνηκέστῳ ληφθέν-

affectum deuitat: hactenus videlicet modeſtiam præſtãs, quòd aduerſus proximos minimè ſe efferat: ac rurſum eatenus magnitudinis animi ſpecimen edens, quòd nec terroribus, nec periculis ſuccumbat, atque etiam adulatione ac ſeruili demiſſione ſuperiorem ſe præbeat. Non enim ſeruilis animi hominem & adulatorem modeſtum eſſe ſtatuit, nec rurſum contumacem & arrogantem, magnanimum: verùm vtriuſque bona aucupans, vitia deuitat: quò nimirum vitia virtutibus propinqua fugiens, ipſam virtutem purè ac ſynceré adipiſcatur.

*Eidem.* 243.

Ad ſacrum bellum cum carnis vitiis gerendum nos conferamus oportet: ſic tamen, vt non in nobiſipſis fiduciam collocemus, verùm diuino ſubſidio victoriam permittamus. Si enim ad hunc modum progrediamur, vt omnem quidem apparatum, & prælium, & labores ac vigilias ſuſcipiamus, in diuina autem ope atque auxilio fiduciam noſtram poſitã habeamus, victoriam facilè conſequemur, ac præclara aduerſus ea trophæa erigemus, vnà cum iis victoriis, quas paulatim ac ſerie quadã obtinebim⁹, bonas quoque ſpes adaugẽtes.

*Apollonio Diacono.* 244.

Cùm duo ſumma vitiorum genera ſint, alterum quod animo & cogitatione concipitur, alterum quod opere perpetratur: hoc quod opere perpetratur olim per legem interdictum ac vindicatum eſt, illud autem quod in cogitatione poſitum eſt, per Euangelium repreſſum atque coërcitum. Euangelium quippe non opus, poſt flagitium editum, punit: verùm id prouidet, vt ne ortum quidem omnino vitium capiat. Tum enim manui, nunc autem animæ lex lata eſt.

*Ammonio.* 245.

Quemadmodum qui incurabili furore